**SS 2024 Griech. Lektüre-Übung: Menander, *Dyskolos* TEXT 9 (Karanasiou)**

https://www.greek-language.gr/digitalResources/ancient_greek/library/browse.html?text_id=137&page=14

V. 442-465

**ΚΝ.** κακοὶ κακῶς ἀπόλοισθε. ποιοῦσίν γε με
ἀργόν· καταλιπεῖν γὰρ μόνην τὴν οἰκίαν
οὐκ ἂν δυναίμην. αἱ δὲ Νύμφαι μοι κακὸν
ἀεὶ παροικοῦσ᾽, ὥστε μοι δοκῶ πάλιν
μετοικοδομήσειν καταβαλὼν τὴν οἰκίαν
ἐντεῦθεν. ὡς θύουσι δ᾽ οἱ τοιχωρύχοι·
κοίτας φέρονται, σταμνί᾽, οὐχὶ τῶν θεῶν
ἕνεκ᾽ ἀλλ᾽ ἑαυτῶν. ὁ λιβανωτὸς εὐσεβὲς
καὶ τὸ πόπανον· τοῦτ᾽ ἔλαβεν ὁ θεὸς ἐπὶ τὸ πῦρ
ἅπαν ἐπιτεθέν. οἱ δὲ τὴν ὀσφῦν ἄκραν
καὶ τὴν χολήν, ὅτι ἔστ᾽ ἄβρωτα, τοῖς θεοῖς
ἐπιθέντες αὐτοὶ τἆλλα καταπίνουσι. γραῦ,
ἄνοιγε θᾶττον τὴν θύραν. [ποητέ]ον
ἐστὶν γὰρ ἡμῖν τἄνδον ὡς ἐμοὶ δοκεῖ.

**(ΓΕ.)** τὸ λεβήτιον, φῄς, ἐπιλέλη[σθ]ε; παντελῶς
ἀποκραιπαλᾶτε. καὶ τί νῦν ποιήσομεν;
ἐνοχλητέον τοῖς γειτνιῶσι τῷ θεῷ
ἐσθ᾽ ὡς ἔοικε. παιδίον. μὰ τοὺς θεοὺς
θεραπαινίδια γὰρ ἀθλιώτερ᾽ οὐδαμοῦ
οἶμαι τρέφεσθαι. παῖδες. οὐδὲν ἄλλο πλὴν
κινητιᾶν ἐπίσταται—παῖδες καλοί—
καὶ διαβαλεῖν ἐὰν ἴδῃ τις. παιδίον.
τουτὶ τὸ κακὸν ‹τί› ἐστί; παῖδες. οὐδὲ εἷς
ἔστ᾽ ἔνδον. ἠήν. προστρέχειν τις φαίνεται.